ΑΓΙΟΓΡΑΦΙΚΑ ΑΝΑΓΝΩΣΜΑΤΑ

ΚΥΡΙΑΚΗ Ε΄ ΛΟΥΚΑ – Ἦχος πλ. α΄. Εωθινόν ΙΑ΄.

Α. Το Αποστολικό Ανάγνωσμα (Προς Κορινθίους 12, 27 – 13, 8)

Ἀδελφοί, ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. Μὴ πάντες ἀπόστολοι; Μὴ πάντες προφῆται; Μὴ πάντες διδάσκαλοι; Μὴ πάντες δυνάμεις; Μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; Μὴ πάντες γλώσσαις λαλοῦσι; Μὴ πάντες διερμηνεύουσι; Ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα. Καὶ ἔτι καθ᾽ ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι. Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐ ζηλοῖ· ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.

Αδελφοί, εσείς είστε το σώμα του Χριστού και ο καθένας σας αποτελεί ένα ξεχωριστό μέλος Του. Ο Θεός όρισε μέσα στην Εκκλησία πρώτα τους Αποστόλους, δεύτερον τους προφήτες, τρίτον τους διδασκάλους. Έπειτα έδωσε σε άλλους τη δύναμη να κάνουν θαύματα, σε άλλους χαρίσματα θεραπείας, σε άλλους τη δυνατότητα να βοηθούν όσους έχουν ανάγκη, σε άλλους τη διακονία της διοικήσεως και σε άλλους το χάρισμα να μιλούν διάφορες γλώσσες. Μήπως είναι όλοι Απόστολοι; Μήπως είναι όλοι προφήτες; Μήπως είναι όλοι διδάσκαλοι; Μήπως έχουν όλοι τη δύναμη να κάνουν θαύματα; Μήπως έχουν όλοι χαρίσματα θεραπείας; Μήπως μιλούν όλοι διάφορες γλώσσες; Μήπως μπορούν όλοι να τις ερμηνεύουν; Να επιδιώκετε, λοιπόν, με ζήλο τα ανώτερα πνευματικά χαρίσματα. Και τώρα θα σας δείξω έναν δρόμο ασύγκριτα ανώτερο από όλους. Ακόμη κι αν μιλώ όλες τις γλώσσες των ανθρώπων, ακόμη και των αγγέλων, αλλά δεν έχω αγάπη, είμαι σαν ένα χάλκινο αντικείμενο που ηχεί ή σαν ένα κύμβαλο που κάνει θόρυβο. Κι αν έχω το χάρισμα της προφητείας και γνωρίζω όλα τα μυστήρια και όλη τη γνώση, κι αν έχω τόσο μεγάλη πίστη ώστε να μετακινώ βουνά, αλλά δεν έχω αγάπη, δεν είμαι τίποτε. Κι αν μοιράσω όλα τα υπάρχοντά μου για να θρέψω τους φτωχούς, ακόμη κι αν παραδώσω το σώμα μου στη φωτιά, αλλά δεν έχω αγάπη, δεν ωφελούμαι σε τίποτε. Η αγάπη είναι μακρόθυμη και γεμάτη καλοσύνη. Δεν ζηλεύει, δεν καυχιέται, δεν υπερηφανεύεται. Δεν συμπεριφέρεται άσχημα, δεν επιδιώκει το δικό της συμφέρον, δεν θυμώνει εύκολα και δεν κρατά μέσα της το κακό που της έκαναν. Δεν χαίρεται με την αδικία, αλλά χαίρεται όταν επικρατεί η αλήθεια. Όλα τα υπομένει, πάντοτε εμπιστεύεται, πάντοτε ελπίζει και σε κάθε δυσκολία δείχνει υπομονή. Η αγάπη δεν χάνεται ποτέ.

Β. Το Ευαγγελικό Ανάγνωσμα (Λουκ. 16, 19–31)

Εἶπεν ὁ Κύριος· Ἄνθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς. Πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἐπέλειχον τὰ ἕλκη αὐτοῦ. Ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ· ἀπέθανε δὲ καὶ ὁ πλούσιος καὶ ἐτάφη. Καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ Ἀβραὰμ ἀπὸ μακρόθεν καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. Καὶ αὐτὸς φωνήσας εἶπε· Πάτερ Ἀβραάμ, ἐλέησόν με καὶ πέμψον Λάζαρον ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. Εἶπε δὲ Ἀβραάμ· Τέκνον, μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι·καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν. Εἶπε δέ· Ἐρωτῶ οὖν σε, πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου· ἔχω γὰρ πέντε ἀδελφούς· ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου. Λέγει αὐτῷ Ἀβραάμ· Ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν. Ὁ δὲ εἶπεν· Οὐχί, πάτερ Ἀβραάμ, ἀλλ᾽ ἐάν τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτούς, μετανοήσουσιν. Εἶπε δὲ αὐτῷ· Εἰ Μωϋσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ πεισθήσονται.

Είπε ο Κύριος την ακόλουθη παραβολή: Ήταν κάποιος άνθρωπος πλούσιος, που φορούσε πολυτελή πορφυρά ενδύματα και εκλεκτά λινά υφάσματα και διασκέδαζε καθημερινά με λαμπρά συμπόσια. Υπήρχε όμως και ένας φτωχός, που ονομαζόταν Λάζαρος, ο οποίος ήταν ξαπλωμένος κοντά στην εξώπορτα του πλουσίου, γεμάτος πληγές. Επιθυμούσε να χορτάσει έστω και από τα ψίχουλα που έπεφταν από το τραπέζι του πλουσίου. Ακόμη και τα σκυλιά έρχονταν και έγλειφαν τις πληγές του. Κάποτε πέθανε ο φτωχός και οι άγγελοι τον μετέφεραν στην αγκαλιά του Αβραάμ. Πέθανε και ο πλούσιος και τον έθαψαν. Ενώ βρισκόταν στον Άδη και υπέφερε, σήκωσε τα μάτια του και είδε από μακριά τον Αβραάμ και τον Λάζαρο στην αγκαλιά του. Τότε φώναξε: «Πατέρα Αβραάμ, λυπήσου με και στείλε τον Λάζαρο να βουτήξει την άκρη του δαχτύλου του στο νερό και να δροσίσει τη γλώσσα μου, γιατί υποφέρω μέσα σε αυτή τη φλόγα». Ο Αβραάμ όμως του απάντησε: «Παιδί μου, θυμήσου ότι εσύ απόλαυσες τα αγαθά σου κατά τη διάρκεια της ζωής σου, ενώ ο Λάζαρος γνώρισε τις στερήσεις και τις συμφορές. Τώρα εκείνος παρηγορείται εδώ, ενώ εσύ υποφέρεις. Επιπλέον, ανάμεσα σε εμάς και σε εσάς υπάρχει ένα μεγάλο και αξεπέραστο χάσμα, ώστε όσοι θέλουν να περάσουν από εδώ προς εσάς να μην μπορούν, ούτε εκείνοι που βρίσκονται εκεί να μπορούν να περάσουν προς εμάς». Τότε ο πλούσιος είπε: «Σε παρακαλώ, λοιπόν, πατέρα, στείλε τον Λάζαρο στο σπίτι του πατέρα μου, γιατί έχω πέντε αδελφούς. Ας τους προειδοποιήσει, ώστε να μην έρθουν κι εκείνοι σε αυτόν τον τόπο των βασάνων». Ο Αβραάμ του απάντησε: «Έχουν τον Μωυσή και τους προφήτες· ας ακούσουν όσα εκείνοι διδάσκουν». Ο πλούσιος όμως είπε: «Όχι, πατέρα Αβραάμ· αλλά αν κάποιος από τους νεκρούς πάει κοντά τους, τότε θα μετανοήσουν». Κι ο Αβραάμ του απάντησε: «Αν δεν ακούνε τον Μωυσή και τους προφήτες, δεν πρόκειται να πειστούν, ακόμη κι αν κάποιος αναστηθεί από τους νεκρούς».